# TEZAUR LITURGIC

## 24 AUGUST

## GHERASIM MIKRAGHIANANITUL

# SLUJBA

## SF.CUVIOS-MUCENIC

# COSMA

# DE LA ETOLIA

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 24 Αὐγούστου
# Ἀκολουθία Ἱερομάρτυρος
# ΚΟΣΜΑ τοῦ Αἰτωλοῦ

## Ποίημα Σαπφειρίου τινός καί Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου

## ΕΣΠΕΡΙΝΟΣ

Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος β΄. Ποίοις εὐφημιῶν στέμμασιν. Σαπφειρίου.

Δεῦτε, οἱ εὐσεβεῖς σήμερον, συστησώμεθα κοινὴν χορείαν, ἐν ἀγαλλιάσει γεραίροντες, τοῦ Εὐαγγελίου τὴν σάλπιγγα, σκεῦος ἐκλογῆς Κοσμᾶν τὸν θεῖον, τὸν μέγαν καθηγεμόνα καὶ διδάσκαλον, τὸν πράξει καὶ θεωρίᾳ διαλάμψαντα, Χριστολατρῶν ποδηγέτην, τὸν διπλῷ στεφάνῳ βραβευθέντα ἐν οὐρανοῖς· αὐτῷ ἀνακράξωμεν, εὐχαῖς σου Κοσμᾶ σωθείημεν.

Ἅπαν, τὸ χριστεπώνυμον πλήρωμα, εὐφημήσωμεν τὸν Χριστολάτρην, τὸν τῆς εὐσεβείας ὑπέρμαχον, καὶ τῆς ἀσεβείας τὸν πέλεκυν, τῆς ἀκτημοσύνης τὸν ἐργάτην, τὸν ὄμβροις τοῖς τῶν δακρύων συντονώτατα, τὴν σάρκα σὺν τῇ ψυχῇ ἀναπτερώσαντα, τὸν ἐλατῆρα τῶν νόσων, τοῦ Χριστοῦ τὸν φίλον, Κοσμᾶν τὸν Ἱερομάρτυρα.

Δεῦτε, ἐν ἱεροῖς μέλεσι, καταστέψωμεν τὴν θείαν κάραν, εὐωδίας οὖσαν ἀνάπλεων, καὶ πάμπολλα θαύματα βρύουσαν, καὶ πιστοὺς κινδύνων

λυτρουμένην· βραβεύει γὰρ ὁ πανοικτίρμων Κύριος, τοὺς Τοῦτον θεοπρεπῶς ἀντιδοξάζοντας, καὶ τὴν πανέντιμον κάραν τοῦ ἱεροθύτου Πατρὸς Κοσμᾶ, Χριστὸς κατεπλούτησε, σημείοις πολλοῖς καὶ θαύμασι.

Ἕτερα. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι. Γερασίμου.

Αἰτωλίας τὸ βλάστημα, Ἐκκλησίας τὸ στήριγμα, καὶ σοφὸν διδάσκαλον θείῳ Πνεύματι, Εὐαγγελίου τὸν κήρυκα, καὶ βίου σεμνότητος, φυτοκόμον ἀληθῆ, τὸν τῷ λόγῳ ἐκτίλλοντα, τὰ ζιζάνια, καὶ ψυχὰς γεωργοῦντα θείῳ φόβῳ, μακαρίσωμεν ἀξίως, Κοσμᾶν τὸν μέγα φιλέορτοι.

Καὶ ἐν Ἄθῳ διέπρεψας, καὶ ἐν πόλει τοῦ Βύζαντος, διδαχαῖς καὶ πράξεσι θείας πίστεως, Μακεδονίαν δε Ἅγιε, καὶ Ἤπειρον ἅπασαν, δρόμῳ ἀποστολικῷ, καὶ τὰς νήσους διέτρεξας, πόνοις πλείοσι, πρὸς ἀγάπην τὴν θείαν διεγείρων, καὶ τὴν κτῆσιν τῶν κρειττόνων, Κοσμᾶ πιστῶν τὰ συστήματα.

Ὡς ὁ Παῦλος ὁ ἔνθεος, τὸ Χριστοῦ Εὐαγγέλιον, πανταχοῦ ἐκήρυξας ἱερώτατε, ἐκ Βυζαντίου ἀρξάμενος, δυνάμει τοῦ Πνεύματος, μέχρι δὲ Ἰλλυρικοῦ, γεγονὼς πλείστους ἔσωσας, τοῖς σοῖς σκάμμασι, καὶ ἀγχόνῃ τὸν δρόμον σου τελέσας, μαρτυρίω ἐκοσμήθης, Πάτερ Κοσμᾶ Ἰσαπόστολε.

Δόξα. Ἦχος πλ. β΄.

Τῶν ὄντων ἐκμελετήσας τὸ ἄστατον, καὶ τὸν Σταυρὸν τοῦ Χριστοῦ εὐαγγελικῶς ἐπ’ ὤμων ἀράμενος, ἀποστολικῶς τὸν λόγον τῆς εὐσεβείας πᾶσι διέσπειρας, καὶ ἀναργύρως τὴν χάριν τῶν ἰαμάτων ἐπεδαψίλευσας· ὅθεν κατὰ Παῦλον τοῖς πᾶσιν ἐβόας· ἀγαπήσατε τὸν Θεόν, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ἡμῶν, μετὰ πάντων τῶν Ἁγίων· ἀλλὰ καὶ νῦν αἰτοῦμέν σε, Μαρτύρων ἐγκαλλώπισμα, ὡς παῤῥησίαν ἔχων πολλὴν πρὸς τὸν Σωτῆρα Κύριον, μὴ διαλείπῃς πρεσβεύων, ὑπὲρ τῶν πίστει καὶ πόθῳ σου τῇ σορῷ προσιόντων τῇ ἁγίᾳ, καὶ πιστῶς ἐκτελούντων, τὴν σεβάσμιον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει Σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει Σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ Αὐτός ἐκ Σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα (Κεφ. μγ΄ 9).

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἤ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὅν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τὶς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ.γ΄ 1)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν

ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. δ' 7-15).

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικίᾳ γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἤ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτήν. Ἦχος α΄. Σαπφειρίου.

Τί σὲ καλέσωμεν τρισμάκαρ; Μάρτυρα, ὅτι ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ τὸ σὸν αἷμα ἐξέχεας; Κήρυκα, ὅτι

τὸν πόθον τῆς τοῦ Χριστοῦ Βασιλείας τοῖς πᾶσιν ἐκήρυξας; Ἀπόστολον, ὅτι τὸν λόγον τοῦ Εὐαγγελίου τοῖς πιστοῖς διετράνωσας; Μοναστήν τε, ὅτι τὸν σὸν βίον, ὥσπερ κάτοπτρον καθαρόν, τῆς ἀσκήσεως κατέλιπες; Ἱερέα, ὅτι ἱερουργῶν σεαυτὸν ὥσπερ θυσίαν καθαράν, προσήγαγες τῷ Κυρίῳ Σου; Ὃν ἐκτενῶς ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν, τῶν ἐκτελούντων τὴν μνήμην σου.

Ὅμοιον.

Τοὺς λαμπροὺς ἀγῶνάς σου, οὓς ὑπὲρ τῆς πίστεως ἠγώνισαι, τίς διηγήσεται Ἱερομάρτυς πανένδοξε; Τοὺς ἱδρώτας, τοὺς πόνους, τοὺς ἀνὰ πᾶσαν πόλιν προσγινομένους σοι διὰ τὸ κήρυγμα, ἀνθ᾽ ὧν παρὰ Χριστοῦ ἀπείληφας τὴν τῶν οὐρανῶν κληρουχίαν· ὅθεν καὶ ἡμεῖς, αἰτοῦμέν σε πανσεβάσμιε, ὡς παῤῥησίαν εὑράμενος παρὰ Χριστῷ τῷ Θεῷ, εἰρήνην αἴτησαι τὰς ψυχὰς ἡμῶν.

Ὅμοιον.

Ἀποστολικῶς τὸν δρόμον τετέλεκας, ἀσκήσει πρότερον τὸν βίον ἁγνισάμενος καὶ ἀπαθείᾳ, ἀνθ᾽ ὧν ὁ Χριστός, πλουσίαν τῶν θαυμάτων κεχορήγηκέ σοι τὴν ἐνέργειαν, ὁ μόνος τοὺς Αὐτὸν δοξάζοντας ἀντιδοξάζων, καὶ θαυμαστῶν ὁ τῶν θαυμάτων χορηγός, τοῖς ἐν τῇ γῇ Ἁγίοις· ὅθεν καὶ ἡμεῖς σήμερον, σοῦ τῇ σορῷ προσιόντες τῇ ἁγίᾳ, μετ᾽ εὐλαβείας τὴν κόνιν ἀσπαζόμεθα, τοῖς πᾶσιν ὡς ἀληθῶς, ἄφθονα τὰ ἰάματα χορηγοῦσαν, αἰτούμενοι

πανσεβάσμιε, διὰ σοῦ τυχεῖν ἀφέσεως πταισμάτων, καὶ κολάσεως λυτρωθῆναι τοὺς τιμῶντάς σε.

Ὅμοιον.

Ὁ τὰ ὕδατα Πάτερ, ἐξ ἀκαθάρτων εἰς διειδῆ καὶ πόσιμα μεταποιησάμενος λόγῳ μόνῳ, καὶ λαὸν δίψῃ συνεχόμενον, καὶ βοῶντα κορέσας, τὴν ἐμὴν ψυχὴν Ὅσιε, ὅλην ῥυπαρὰν καὶ ἀκάθαρτον, καθαρὰν ἀνάδειξον ταῖς εὐχαῖς σου, καὶ πόσιμον προσάγαγε, καθάπερ ὕδωρ διαυγές, τῷ διψῶντι Θεῷ, τὴν σωτηρίαν τῶν ψυχῶν παντὸς τοῦ πλάσματος, τῷ παρέχοντι διὰ σοῦ τὴν εἰρήνην τῷ κόσμω, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἕτερα, Γερασίμου.

Ἦχος α'.

Ἀγάλλου ἐν Κυρίῳ, ἡ Ἐκκλησία τοῦ Χριστοῦ, μετὰ τοὺς θείους Ἀποστόλους, νυμφαγωγὸν θεῖον κτησαμένη καὶ διδάσκαλον ἔνθεον, καὶ στόμα θεόσοφον, Κοσμᾶν τὸν Ἰσαπόστολον. Εὐαγγελίου γὰρ τὸν λόγον, σοφῶς ἐκήρυξε, καὶ τῶν πιστῶν τὰς καρδίας, θείῳ φόβῳ ἐῤῥύθμισε. Καὶ μαρτυρικῷ τέλει δοξάσας τὸν Χριστόν, τῆς αἰωνίου δόξης ἠξίωται, Ἀποστόλων καὶ Μαρτύρων συνὼν χορείαις. Μεθ' ὧν καὶ πρεσβεύει, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β'.

Ἀποστολικὴν ἀνύσας πορείαν, πλείστας πόλεις καὶ χώρας διέδραμες, ὡς οὐράνιος ἄνθρωπος, καὶ ἐπίγειος Ἄγγελος, Κοσμᾶ Ἰσαπόστολε· ἀγάπῃ θείᾳ γὰρ ῥωννύμενος, τὸ ἀσθενὲς τῆς σαρκός, τὴν τοῦ πλησίον

σωτηρίαν, ὅλῃ ψυχῇ ἐξεζήτησας. Καὶ στόμα θεῖον γενόμενος, ἐξ ἀναξίων ἀξίους, πολλοὺς Χριστῷ προσήγαγες, καὶ κομῶσαν θείαις πράξεσι, τὴν Ἐκκλησίαν ἀνέδειξας. Σοφίᾳ γὰρ καὶ χάριτι, ἐπιστώσω τὸν λόγον, καὶ θαυμάτων δυνάμεσιν, ἀμφότερα ἐσφράγισας. Καὶ πλανωμένων ὁδηγὸς ἀναφανείς, πάντας διήγειρας βοᾶν· Κύριε δόξα Σοι.

Ἦχος γ΄.

Τῷ τοῦ Πνεύματος φωτὶ καταλαμφθείς, παρὰ Κυρίου ἀπεστάλης, τοῖς μακρὰν καὶ τοῖς ἐγγὺς κηρῦξαι, τὸ Εὐαγγέλιον Πάτερ, τῆς Βασιλείας τῶν Οὐρανῶν· σοὶ γὰρ δέδοται λαμπρῶς, κατὰ Παῦλον τὸν μέγαν, ἡ τοιαύτη χάρις μακάριε, ἐν ὑστέροις ἔτεσι. Καὶ πλείστους τόπους διαμείβων, καὶ πελάγη διαπερῶν, πολλῶν αἴτιος σωτηρίας, ὡς τοῦ Σωτῆρος μιμητὴς γέγονας. Διὸ ἡ Ἤπειρος πᾶσα, εὐσήμως κηρύττει, ἣν τῷ σῷ λόγῳ, σωτηρίαν ἐκαρπώσατο. Καὶ τῷ σέ θαυμαστώσαντι βοᾷ· Κύριε δόξα Σοι.

Ἦχος δ΄.

Ἀσκητικῶς τὸν νοῦν καθαγνίσας, καὶ τῇ θείᾳ εὐδοκίᾳ σεαυτὸν ἀναθέμενος, ὡς πηγὴ ἐξ οἴκου Κυρίου, ἐκ τοῦ Ἄθω ἐξελήλυθας, ὥς φησιν ὁ Προφήτης, Κοσμᾶ ἱερώτατε. Καὶ τὸ ὕδωρ τῆς ζωῆς, τῷ ἀφθόνῳ σου λόγῳ τοῖς διψῶσι μετέδωκας, τῆς πλάνης καταπνίξας τὰ ζιζάνια, καὶ τῶν ψυχῶν τοὺς μώλωπας καθάρας. Τοῖς πᾶσι γὰρ τὰ πάντα ἐγένου, ἵνα πλείονας κερδήσῃς, ὡς τοῦ Παύλου ἐνθεώτατος

μύστης. Καὶ μαρτυρικῶς τελέσας τὸν δρόμον, μετά Μαρτύρων τῷ Σωτῆρι βοᾷς· Κύριε δόξα Σοι.

Ὅμοιον.

Τίς ἐπαξίως ὑμνήσει, τῆς σῆς ἀγάπης τὸν πλοῦτον, ἣν πρὸς τὸν πέλας ἐκέκτησο Κοσμᾶ Πάτερ Ὅσιε; Ἢ ποία γλῶσσα διηγήσεται, τοὺς σοὺς ἀγῶνας καὶ ἱδρῶτας, καὶ κόπους καὶ δρόμους, οὓς ὑπὲρ τῆς τῶν πολλῶν σωτηρίας, ὡς ἄσαρκος ἀνέτλης, τῆς εὐσεβείας διαθλῶν τὸ στάδιον; ὅθεν ἀξίως ἐδοξάσθης ὡς ἄλλος Ἀπόστολος, καὶ Μαρτύρων ἰσοστάσιος, παρὰ Χριστοῦ παμμάκαρ, καὶ πάντες γεραίρουσι τὴν ἁγίαν μνήμην σου· ἔνθεν μὲν ὁ Ἄθως, ἐκεῖθεν δὲ ἡ Ἤπειρος, καὶ ἡ βλαστήσασά σε Αἰτωλία, κηρύττουσι τὴν χάριν σου, ὅτι πάσης Ἐκκλησίας διδάσκαλος πέφηνας, τῇ Τριάδι πρεσβεύων δοῦναι πᾶσιν ἱλασμόν, καὶ τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. α΄. Σαπφειρίου.

Ὅσιε Πάτερ, τοῖς ὀπαδοῖς τοῦ Χριστοῦ κατ' ἴχνος ἑπόμενος, εὐαγγελικῶς τὸν βίον διανύσαι διέγνωκας, κόσμον καὶ ἐγκόσμια πάντα, ἡγησάμενος σκύμβαλα, πρὸς τὴν ἄνω ὄντως μακαριότητα, μηδὲν σεαυτὸν προτιμῶν, τῆς τῶν ἀδελφῶν τῶν συγγενῶν σοι κατὰ σάρκα σωτηρία· ἀλλ' ἵνα πάντες ἀληθῶς διὰ σοῦ σωθῶσι, τὸ αἷμα τὸ σὸν κατὰ Παῦλον ἐξέχεας, καὶ τὸν Δεσπότην Χριστόν, τὸ δυνατὸν μιμούμενος, σεαυτὸν τῆς τῶν πολλῶν, ὥσπερ λύτρον σωτηρίας παρέδωκας. Καὶ Χριστῷ προσήγαγες ταῖς καθ' ἡμέραν διδαχαῖς σου, ἔθνη τῆς γῆς τὰ βάρβαρα, ὅπως εἰς τὴν Αὐτοῦ

Βασιλείαν τὴν Οὐράνιον, μετ' αὐτῶν εἰσέλθῃς κράζων· ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν Σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν Σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος, τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγήν τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν. Σαπφειρίου.

Ἀριστεὺς ὡς ἀήττητος, τοῦ ἐχθροῦ πᾶσαν ἔννοιαν, εὐθαρσῶς διήλεγξας καὶ κατήσχυνας, ὡς ἐκ Θεοῦ κομισάμενος, πλουσίαν τὴν δύναμιν, κατὰ πάντων δυσμενῶν, ἀριστεύων τοῦ Πνεύματος, τοῖς χαρίσμασι, καὶ τῆς νίκης τὰ γέρα οὐρανόθεν, παρὰ τοῦ Ἀγωνοθέτου, χαίρων λαβὼν ἐξεδήμησας.

Στ. *Θαυμαστὸς ὁ Θεός, ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Τοῖς ἐνθέοις διδάγμασι, τὴν ὑφήλιον ἅπασαν, εὐσεβῶς κατήρδευσας ἱερώτατε, σπείρας τὸν λόγον τῆς πίστεως, Κοσμᾶ ἀξιάγαστε, ταῖς τῶν πάντων ἀκοαῖς, καὶ κομῶντας ὡς στάχυας, ἐναπέδειξας, ἀρεταῖς ταῖς ἐνθέοις τοῖς σοῖς λόγοις, καὶ προσήγαγες ὡς θῦμα, τῷ σῷ Δεσπότῃ εὐπρόσδεκτον.

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ο Κύριος.*

Ἀρετὴν πᾶσαν ἤσκησας, Ἀσκητῶν ἐγκαλλώπισμα, καὶ Μαρτύρων καύχημα ἐναρέτου τε, ζωῆς τῆς ὄντως ὑπόδειγμα, Κοσμᾶ ἀξιάγαστε, τῆς Τριάδος γεγονώς,

καθαρὸν ἐνδιαίτημα, Ἣ καὶ πρέσβευε, ἱλασμὸν τῶν πταισμάτων δωρηθῆναι, τοῖς ἐν πίστει σὲ τιμῶσι, καὶ σωτηρίαν καὶ ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Τῶν εὐσεβῶν τὰ πλήθη, τὸν καθηγητὴν σὲ τιμῶμεν, Κοσμᾶ ἱερώτατε· διὰ γὰρ σοῦ τὴν τρίβον τὴν ὄντως εὐθεῖαν πορεύεσθαι ἔγνωμεν. Μακάριος εἶ τῷ Χριστῷ δουλεύσας, καὶ τῶν πιστῶν τὸν σύλλογον ταῖς ἱεραῖς σου διδαχαῖς, τῷ Θεῷ προσενέγκας, ὡς θῦμα εὐωδέστατον. Ἀγγέλων συνόμιλε, Ἀποστόλων ὁμότροπε, Μαρτύρων ὁμόσκηνε καὶ δικαίων, μεθ’ ὧν πρέσβευε τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, Σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος γ’. Θείας πίστεως.

Θείας πίστεως, διδασκαλία, κατεκόσμησας, τὴν Ἐκκλησίαν, ζηλωτὴς τῶν Ἀποστόλων γενόμενος καὶ κατασπείρας τὰ θεία διδάγματα, μαρτυρικῶς τὸν ἀγῶνα ἐτέλεσας. Κοσμᾶ ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ Σοῦ προσληφθείσῃ, ὁ Υἱός Σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Ἀπόλυσις.

## ΟΡΘΡΟΣ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τόν τάφον Σου, Σωτήρ. Σαπφειρίου.

Τὴν πίστιν τοῦ Χριστοῦ, ἀῤῥαγὲς ὥσπερ ὅπλον, προβάλλων νικητής, κατ’ ἐχθρῶν ἀνεδείχθης, στιλβῶν ὥσπερ φάσγανον, τὸν σὸν λόγον πανόλβιε, ᾧ κατέταμες, τὰς τοῦ βελίαρ ἐνέδρας, καὶ κατέκοψας, τῆς ἀσεβείας τὰς ῥίζας, μαχαίρας τοῦ Πνεύματος.

Δόξα. Ὅμοιον. Γερασίμου.

Ὡς ἔλαβες σοφέ, οὐρανόθεν τὴν χάριν, ἐξῆλθες ἐν σπουδῇ, ἐκ τοῦ Ἄθω κηρύττων, ὡς ἄλλος Ἀπόστολος, εὐσεβείας διδάγματα· ὅθεν σήμερον, τὴν φωτοφόρον σου μνήμην, ἑορτάζοντες, τοὺς σοὺς ἀγῶνας τιμῶμεν, Κοσμᾶ Ἰσαπόστολε.

Καὶ νῦν. Θεοτοκίον.

Μητέρα Σε Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν Σὴν ἀγαθότητα· Σὲ γὰρ

ἔχομεν, ἁμαρτωλοὶ προστασίαν· Σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην Πανάμωμον.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε. Γερασίμου.

Τὴν θείαν ἐπίπνοιαν τοῦ Παρακλήτου σοφέ, ὑψόθεν δεξάμενος, τῇ καθαρᾷ σου ψυχῇ, ὡς ἄλλος Ἀπόστολος, πόλεις τε καὶ χωρίᾳ, τῆς Ἑλλάδος διῆλθες, ἅπασι καταγγέλων, σωτηρίας τὸν λόγον, καὶ ἤθλησας νομίμως, Κοσμᾶ θεομακάριστε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ἡ μόνη κυήσασα, τὸν Ποιητὴν τοῦ παντός, ἡ μόνη κοσμήσασα, τὴν ἀνθρωπότητα, τῷ τόκῳ σου Ἄχραντε, ῥῦσαί με τῶν παγίδων, τοῦ δολίου Βελίαρ, στῆσόν με ἐπὶ πέτραν, τῶν Χριστοῦ θελημάτων, Αὐτὸν ἐκδυσωποῦσα ἐκτενῶς, Ὅν ἐσωμάτωσας.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον. Σαπφειρίου.

Τοὺς λαμπροὺς ἀγῶνάς σου, Ἱερομάρτυς, συνελθόντες σήμερον, ἐν τῷ πανσέπτῳ σου ναῷ, ἀνευφημοῦμεν δεόμενοι, φρούρει λιταῖς σου, Κοσμᾶ τοὺς τιμῶντάς σε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον. Ἡ Παρθένος σήμερον.

Ἡ τοῦ κόσμου Δέσποινα, τὴν σωτηρίαν τεκοῦσα, σωτηρίαν δώρησαι, τοῖς ὑμνηταῖς Σου Παρθένε, πάντα γάρ, δυνατά σοι πρὸς τὸν Υἱόν Σου, Ὅν τινα,

καὶ δυσωποῦσα μὴ διαλείπῃς, ὑπὲρ πάντων τῶν Σῶν δούλων, ἵνα ῥυσθῶμεν πυρὸς τῆς κολάσεως.

Οἱ Ἀναβαθμοί· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον. *Θαυμαστὸς ὁ Θεός, ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον Μαρτυρικόν (ζήτει αὐτῷ ἐν τῷ Ὄρθρῳ τῆς ἑορτῆς τοῦ ἁγ. Δημητρίου, τῇ 26η Ὀκτωβρίου).

Ὁ Ν΄ Ψαλμός.

Δόξα. Ταῖς τοῦ Διδασκάλου πρεσβείαις, Ἐλεῆμον...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον...

Ἰδιόμελον. Ἦχος β΄. Σαπφειρίου. Στ. *Ἐλέησόν με ὁ Θεός...*

Τὸν νοῦν ἀναπτερώσας πρὸς τὰ ὑπερκόσμια, καὶ παιδιόθεν ἀσκήσει καὶ μελέτῃ συζήσας τῇ κατὰ Θεόν, ἐκ τοῦ Ἄθωνος ὥρμησας, καθάπερ ἄλλος Νεῖλος, καὶ τὰς διψώσας ψυχάς, πλουσίως ἐπότισας, τῇ ἐπομβρίᾳ τῶν λόγων σου, ἃς καὶ καρποφόρους τῆς θείας ἐπιγνώσεως ἐναποδείξας, τῆς φωνῆς τοῦ Κυρίου σου ἀκήκοας· εἴσελθε δοῦλε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου β΄.

Ὁ α΄ Κανὼν τοῦ Ἁγίου. Σαπφειρίου.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Ὡς Ἱερεὺς νῦν τοῦ Δεσπότου γνήσιος, ἱερουργῶν τῷ Θεῷ, καὶ τῶν Ἀποστόλων, ὀπαδὸς γενόμενος, τὴν πίστιν διετράνωσας, δόγμασιν Ὀρθοδόξοις, καὶ λόγοις πάντας ὁδήγησας, πρὸς τὴν θεογνωσίαν ἀνείλκυσας.

Ὑπογραμμὸν τοῖς Ἀσκηταῖς καὶ Μάρτυσι, καὶ Ἱερεῦσι σοφέ, πᾶσι τὸν σὸν βίον, ἀρετῶν κατέλιπες, κανόνα ἀκριβέστατον, τῆς πρὸς Θεὸν πολιτείας, καὶ στάθμην ὄντως ἀλάθητον, ἣν διακρατοῦντες σωθείημεν.

Τοῦ σοῦ Δεσπότου τὸν Σταυρὸν ἐβάστασας, σὺ διὰ βίου παντός, διὰ τούτου Πάτερ, ἐκτελῶν τεράστια, τοῖς πόθῳ προσιοῦσι σοι· δι᾽ οὗ νῦν σαῖς πρεσβείαις, τὰς προσβολὰς τοῦ ἀλάστορος, Πάτερ ἐκφυγεῖν δυνηθείημεν.

Θεοτοκίον.

Τοὺς Θεοτόκον ἀληθῆ γινώσκοντας, καὶ προστασία βροτῶν, πάντων καὶ μεσίτην, πρός Ὅν περ ἀπεκύησας, περίσωζε Πανύμνητε· πάντα γάρ δυνατά σοι, τὸν πάντων Κτίστην καὶ Κύριον, βρέφος τετοκυῖα τὸν ἄχρονον.

Ἕτερος, οὗ ἡ ἀκροστιχίς: *Κοσμᾶ σοι ἔνθεον ᾄδω μέλος. Γερασίμου.*

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Καταύγασον Κύριε, τήν σκοτισθεῖσαν καρδίαν μου, φωτὶ τῆς Σῆς χάριτος, ὅπως ὑμνήσω Χριστέ,

θείοις ᾄσμασι, Κοσμᾶν τὸν θεηγόρον, τὸν πᾶσι κηρύξαντα, λόγον τὸν ἔνθεον.

Ὁ κήρυξ ὁ ἔνθεος, Εὐαγγελίου τῆς χάριτος, ἡ σάλπιγξ ἡ εὔσημος, τῶν ἱερῶν διδαχῶν, ἀνυμνείσθω μοι, Κοσμᾶς ὁ θεηγόρος, τὸ στόμα τὸ πάνσοφον, βίου σεμνότητος.

Σοφίᾳ τοῦ Πνεύματος, καταυγασθεὶς τὴν διάνοιαν, φωστὴρ ὥσπερ μέγιστος, ἐξ Ἄθω ἔλαμψας, καὶ ἐπύρσευσας, τῶν διδαχῶν ἀκτῖσι, Κοσμᾶ Ἰσαπόστολε, Ἑλλάδα ἅπασαν.

Θεοτοκίον.

Μὴ φλέξας τὴν μήτραν Σου, πυρὶ Ἁγνὴ τῆς θεότητος, ὁ Λόγος ὁ ἄναρχος, ἐν Σοὶ ἐσκήνωσε, καὶ σεσάρκωται, ἐκ Σοῦ ἀνερμηνεύτως, διὸ Θεοτόκον Σε, πάντες κηρύττομεν.

ᾨδὴ γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Λελεπρωμένον μου τὸν νοῦν, τοῖς τῶν παθῶν τρικυμίαις, ἀνακάθαρον ταῖς ἱκεσίαις σου μάκαρ, καὶ ἀπόπλυνον φωτὶ τῆς θείας ἐπιγνώσεως, ὅπως κἀγὼ δοξάζω, τὸν σὲ δοξάσαντα Κύριον.

Ἀποκαθάρας σου τὸν νοῦν, τῇ καθαρᾷ πολιτείᾳ, πρὸς Θεὸν ἀνεπτερώθης τρισμάκαρ, καὶ προσέδραμες Χριστῷ, ὡς Ἱερεὺς πανάριστος, προσενεγκὼν τὸ σὸν αἷμα, ὡς ἐκλεκτὸν καλλιέργημα.

Τὴν χερσωθεῖσάν μου ψυχήν, ἀνάδειξον καρποφόρον, ἀρετῶν ταῖς σαῖς εὐχαῖς θεοφόρε· καὶ

γὰρ ἔχεις τὴν ἰσχὺν τελεῖν καὶ μετὰ θάνατον, τοῖς προσιοῦσι πόθῳ σου, τῇ σορῷ τὰ θαυμάσια.

Θεοτοκίον.

Ἐσκοτισμένον μου τὸν νοῦν, ταῖς τῶν παθῶν τρικυμίαις, καταφαίδρυνον τῷ τοκετῷ Σου Παρθένε, καὶ καταύγασον Ἁγνή, φωτὶ τοῦ γεννηθέντος Σοι, ἵνα Τοῦτον δοξάζω, καὶ Σὲ γεραίρω τὴν Ἄχραντον.

Ἕτερος. Τοὺς Σοὺς ὑμνολόγους.

Ἀγάπῃ τρωθεὶς Πάτερ τῇ θείᾳ, ἠγάπησας ὥσπερ σεαυτόν, καὶ τὸν πλησίον Ἅγιε, ὑπὲρ οὗ πλείστους ἤνεγκας, κινδύνους ὡς ὁμότροπος, τῶν Ἀποστόλων ἐν ἅπασι.

Συνέσει τῇ θείᾳ διαλάμπων, κηρύττεις τὸν λόγον πανταχοῦ, τῆς εὐσεβείας Ὅσιε, ὡς θεῖος Ἰσαπόστολος, καὶ τῶν πιστῶν ἐστήριξας, τῷ θείῳ φόβῳ τὸ φρόνημα.

Ὁ νοῦς σου δεξάμενος ἐν Ἄθῳ, τὰς θείας ἐλλάμψεις μυστικῶς, Κοσμᾶ θεομακάριστε, διδάγματα σωτήρια, οἷα κρουνὸς ἀνέβλυσεν, εἰς εὐσεβῶν περιποίησιν.

Θεοτοκίον.

Ἰσχύν μου παράσχου Θεοτόκε, πατεῖν τοῦ ἐχθροῦ τὰς μηχανάς, τοῦ καθ᾽ ἑκάστην Πάναγνε, ὑπούλως ἐφορμῶντος μοι, καὶ τὴν ψυχήν μου στήριξον, τοῖς τοῦ Υἱοῦ Σου προστάγμασι.

Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ποταμοὺς ἐξήρανας, τῆς ἀσεβείας, προσριφεὶς τοῖς ῥεύμασι, τοῖς ποταμίοις ἀριστεῦ, καὶ στεφηφόρος ἀνέδραμες, πρὸς αἰωνίους, σκηνὰς παναοίδιμε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ἡ τὸ φῶς τὸ ἄδυτον, ἀποτεκοῦσα, τῆς ψυχῆς καταύγασον, τοὺς ζοφερούς μου ὀφθαλμούς, καὶ τὴν ἀχλὺν τῆς καρδίας μου, τῷ τοκετῷ Σου, διάλυσον Δέσποινα.

ᾨδὴ δ΄. Σὺ εἶ τὸ στερέωμα.

Ἔχοιμι πρὸς Κύριον, ταῖς σαῖς λιταῖς εὑρεῖν ἔλεος, καὶ γὰρ πλουτεῖς θείας παῤῥησίας, Τριάδος μύστης γενόμενος.

Ἔχοιμι πρὸς Κύριον, σὲ δυσωποῦντα πανόλβιε, λύσιν λαβεῖν τῶν ἀμπλακημάτων, καὶ δεινῶν τὴν ἀπολύτρωσιν.

Εὕροιμι πρὸς Κύριον, δι’ Ὃν σαυτὸν ἀφοσιώσας, Μάρτυς Χριστοῦ, εὐπροσώπως στῆναι παῤῥησίαν ταῖς πρεσβείαις σου.

Θεοτοκίον.

Ἱλεών μοι Δέσποινα, τῷ Σῷ οἰκέτῃ ἀπέργασαι, τὸν Σὸν Υἱόν, πρὸς Αὐτὸν χρωμένη, πανσθενεστάταις μεσιτείαις Σου.

Ἕτερος. Ὁ καθήμενος ἐν δόξῃ.

Ἐν καιρῷ τῷ τῆς δουλείας, καὶ πικρᾶς χαλεπότητος, ἀπεστάλης Πάτερ, παρὰ τοῦ Θεοῦ

Παντοκράτορος, τῶν κλονουμένων στηρίξαι τὴν διάνοιαν, καὶ ἐκλείποντας, λόγῳ σοφῷ ἀνασώσασθαι.

Νόμον θεῖον καταγγέλλων, ὡς Ἀπόστολος ἔνθεος, πόλεις καὶ χωρία Πάτερ, καὶ τὰς νήσους διέδραμες, καὶ τοὺς ἐν σκότει παθῶν κειμένους ἤγειρας, Κοσμᾶ ἔνδοξε, πρὸς τὴν αὐγὴν τὴν σωτήριον.

Θεοῤῥήμονί σου γλώττῃ, τὸ τῆς πίστεως κήρυγμα, ἐν τῷ Βυζαντίῳ Πάτερ, θεοσόφως ἐκήρυξας, Θεσσαλονίκην καὶ Βέροιαν δὲ ηὔγασας, Κοσμᾶ Ἅγιε, τῶν διδαχῶν σου ταῖς χάρισι.

Θεοτοκίον.

Ἐκ γαστρός Σου σαρκοφόρος, ὑπὲρ λόγον καὶ ἔννοιαν, Δέσποινα προῆλθεν ὁ διδοὺς τοῖς πᾶσι τὴν ὕπαρξιν, ἀναλλοιώτως ἀτρέπτως καὶ διέσωσε, τοὺς δοξάζοντας, τὰ μεγαλεῖά Σου Ἄχραντε.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Τὸ ποτάμιον ῥεῖθρον, τῇ προσρίψει σου Πάτερ ἡγίασας, τριημερονυκτεύσας, ἐν αὐτῷ κατὰ τὸν Δεσπότην σου, Ὃν μὴ διαλείπῃς, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύων, ὅπως ῥυσθῶμεν τῆς κολάσεως.

Τῷ φωτὶ τῆς Τριάδος, τὴν διάνοιαν ἐλλαμπόμενος, τὴν Τριάδα πᾶσιν, ἐν μονάδι τρανῶς ἀνεκήρυξας, μίαν τὴν οὐσίαν, τρισὶ δὲ τοῖς προσώποις, Πατρὸς Υἱοῦ καὶ θείου Πνεύματος.

Τὸ δυσῶδες τοῦ βίου τούτου, καὶ τὸ μάταιον ἀποκρουσάμενος, μύρῳ τῆς Τριάδος, νουνεχῶς Πάτερ

προσέδραμες, φέρων ὥσπερ θῦμα, καὶ ἀπαρχὴν τῷ Σῷ Δεσπότῃ, αἷμα σὸν ἱερώτατε.

Θεοτοκίον.

Ἡ τὸ φῶς τετοκυῖα, τὸ τῆς τριφεγγοῦς Τριάδος μὲ φώτισον, τὸν ἐσκοτισμένον, καὶ ψυχὴν καὶ καρδίαν τὸν δείλαιον· ἄλλην γὰρ ἐκτός Σου, θερμὴν μεσίτριαν οὐκ ἔχω, πρὸς Ὃν ἔτεκες Ἀπείρανδρε.

Ἕτερος. Ἐξέστη τὰ σύμπαντα.

Ὁ μέγας διδάσκαλος καὶ ὑποφήτης ἔνθεος, τοῦ Εὐαγγελίου τῆς εἰρήνης, ζήλῳ τοῦ Παύλου καταφλεχθεὶς την ψυχήν, πᾶσαν τὴν Ἑλλάδα διελθών, μέχρις Ἰλλυρίας δέ, Κοσμᾶ χαίρων ἐκήρυξας.

Νοσούσας ἰάτρευσας, ψυχὰς λόγῳ τῆς χάριτος, καὶ τὰς τῶν σωμάτων ἀσθενείας, ἰᾶσαι Πάτερ τῇ ἐπικλήσει Χριστοῦ, ἀποστολικὴν χάριν λαβών, Κοσμᾶ Ἰσαπόστολε, ἐν ὑστέροις τοῖς ἔτεσιν.

Ἀκτῖσι τῶν λόγων σου, Κοσμᾶ θεόφρων Ὅσιε, ἅπασαν τὴν Ἤπειρον λαμπρύνεις, Κεφαλληνίαν δέ, καὶ τὴν Ζάκυνθον, καὶ τὴν Ναυπακτίαν δαψιλῶς, ἄρδεις θείοις νάμασι, τῶν σοφῶν διδαγμάτων σου.

Θεοτοκίον.

Δυνάμωσον Δέσποινα, τὴν ἀσθενοῦσαν πάθεσι, καὶ ταῖς προσβολαῖς τοῦ ἀλλοτρίου, ψυχήν μου Κόρη τῇ συμπαθεῖ Σου ῥοπῇ, καὶ κατεύθυνόν με πρὸς ὁδόν, μετανοίας δέομαι, ὁ προστρέχων τῇ σκέπῃ Σου.

Ὠδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.

Ἱλαρωτάτῃ φωνῇ, καὶ λόγοις πείθων μακάριε, εἵλκυσας πάντα πιστόν, πρὸς θείαν ἐπίγνωσιν, πάντας ἐπιγνώμονας τῆς θεοσεβείας, ἐνδεικνὺς τοὺς πρὶν ἀγνώμονας.

Ἱερουργῶν τῷ Θεῷ, σαυτὸν ὑπὲρ Τούτου τέθηκας, ἵνα καὶ ζήσῃς Αὐτῷ, κοινωνὸς γενόμενος, πάθος τοῦ Δεσπότου σου, ἐν τῇ ἀθανάτῳ Βασιλείᾳ τῶν Οὐρανῶν.

Τοῖς μονασταῖς ποδηγόν, τοῖς Ἱερεῦσιν ὑπόδειγμα, κατέλιπες τὸ σὸν ζῆν, οὗπερ ἀντεχόμενοι, ἐπαναστραφείημεν, ἐξ ὁδῶν τῆς πλάνης, πρὸς γνῶσιν θείαν ταῖς πρεσβείαις σου.

Θεοτοκίον.

Τὴν τοῦ ἐλέους πηγήν, Σὲ τὴν Παρθένον καὶ ἄσπιλον, καθικετεύω Σεμνή, ὅπως εὕρω ἔλεος, ἐν ἡμέρᾳ κρίσεως, καὶ πταισμάτων πάντων, εὐπροσδέκτοις μεσιτείαις Σου.

Ἕτερος. Τὴν θείαν ταύτην.

Ὡς Ἀπόστολος ὁμόζηλος, τοὺς δρόμους τῶν αὐτῶν Πάτερ ἤνυσας, στεῤῥῷ φρονήματι, καὶ φυτοκόμος θεόσοφος, τῆς εὐσεβείας ὤφθης, Κοσμᾶ μακάριε.

Μέγαν διδάσκαλον Ἅγιε,γνωρίζει σε ἡ Ἤπειρος ἅπασα, ταύτην γὰρ ἔσωσας, λόγοις σοφοῖς καὶ διδάγμασι, βυθοῦ τῆς ἀσεβείας, Κοσμᾶ μακάριε.

Ἐξ Αἰτωλίας ἀνέτειλας, καὶ πάσῃ τῇ Ἑλλάδι ἐξέλαμψας, ζήλῳ τῆς πίστεως, διὸ λαμπρῶς μεγαλύνει σε, ἡ Ἐκκλησία Πάτερ, ὡς Ἰσαπόστολον.

Θεοτοκίον.

Λυχνία ὤφθης ἑπτάφωτος, τεκοῦσα τοῦ Πατρὸς τὸ ἀπαύγασμα, σαρκὸς παχύτητι, Θεοχαρίτωτε Δέσποινα, εἰς σωτηρίαν κόσμου, δι᾽ ἀγαθότητα.

Κοντάκιον. Ἦχος δ΄.

Ἀναβλαστήσας ἐκ τῆς γῆς Αἰτωλίας, καὶ ἐν Ἄθῳ μοναστὴς χρηματίσας, καὶ μυηθεὶς ὡς ἀληθῶς τὴν δόξαν τοῦ Θεοῦ, πᾶσιν ἀνεκήρυξας, ἀληθείας τὸν λόγον, καὶ Χριστῷ προσήγαγες, παμμακάριστε πάντας, τῶν Ἀποστόλων ὄντως μιμητής, Ἱερομάρτυς, ἐκχύσει τοῦ αἵματος.

Ὁ Οἶκος.

Τὴν τῶν Μαρτύρων καλλονήν, τῶν μοναστῶν τὸ κλέος, τὸν κήρυκα τῆς πίστεως, καὶ ὑπηρέτην τοῦ λόγου, τῶν Ἱερέων ὑπογραμμόν, καὶ Ἀποστόλων μιμητὴν ἄριστον, ἐν ᾠδαῖς εὐφημήσωμεν οἱ πιστοί, καὶ ἐγκωμίων ἄνθεσι καταστέψωμεν αὐτοῦ κάραν τὴν ἁγίαν, ἐξ ἧς ἄφθονα προχεῖται τὰ ἰάματα, καὶ δαψιλῆ τοῖς πόθῳ προσιοῦσιν ἐνεργεῖται τὰ θαυμάσια, ἣν καὶ πιστῶς ἀσπαζόμενοι, τούτῳ προσείπωμεν. Χαίροις, ὁ τῆς ἀσεβείας τὰς ῥίζας ἐκτεμὼν τῇ δρεπάνῃ τῶν λόγων σου, καὶ εὐσεβείας τὸν σπόρον τοῖς ὠσὶ καὶ καρδίαις πάντων ἐνσπείρας· χαίροις, ὁ τῆς πίστεως κήρυξ, καὶ Ἐκκλησίας στύλος ἀκλόνητος, Ἣν περίσωζε διὰ παντὸς ἐν εἰρήνῃ ταῖς πρὸς Θεὸν πρεσβείαις σου· ἔχεις γὰρ παῤῥησίαν πρὸς τὸν Σωτῆρα Κύριον, τῶν

Ἀποστόλων ὁπαδὸς γενόμενος, καὶ Μαρτύρων χοροῖς ἐμπρέπων τῇ ἐκχύσει τοῦ αἵματος.

Συναξάριον.

Τῇ 24η τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος καὶ Ἰσαποστόλου Κοσμᾶ τοῦ Αἰτωλοῦ, τοῦ ἐν Ἀλβανίᾳ ἀγχόνῃ τελειωθέντος, ἐν ἔτει 1779.

Στίχοι·

*Εὔκοσμος ὤφθης κόσμος, ὦ Κοσμᾶ μάκαρ,*

*Κόσμον λόγοις σοῖς αἵμασι τ᾽ ἀγλαΐσας.*

*Εἰκάδι τετάρτῃ Κοσμᾶν θεήπνουν δυσσεβεῖς ἀπῆγξιν.*

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

ᾨδὴ ζ'. Παῖδες Ἑβραίων.

Ἴχνη παμμάκαρ τῶν ποδῶν σου, κατεστήριξας ἴχνεσιν Ἁλιέων, καὶ σαγήνῃ σοφέ, χρησάμενος σοῖς λόγοις, ψυχὰς ἀνθρώπων ἤγρευσας, ἐκ βυθῶν τῆς ἀπωλείας.

Λόγῳ τῷ σῷ ποδηγεθέντες, λόγον τοῦ Πατρὸς, τὸν ἕνα τῆς Τριάδος, ἐξ αἱμάτων ἁγνῶν, ἐπέγνωμεν λαβόντα, μορφὴν βροτείαν ἄσπορον, ἵν᾽ ἡμεῖς ἀναπλασθῶμεν.

Χαίρει λαμπρῶς ἡ Αἰτωλία, τὸν κοσμήτορα κόσμου παντὸς τὸν μέγαν, Ἱερέαν Θεοῦ, βλαστήσασα ὡς ῥόδον, οὗ τῆς ὀσμῆς ἐπλήσθησαν, οἱ ἐν πίστει προσιόντες.

Θεοτοκίον.

Χαῖρε βροτῶν ἡ σωτηρία, ὡς τὸν Κύριον τῶν ὅλων τετοκυῖα, Ὃν δυσώπει ἀεί, ὑπὲρ τῶν ἱκετῶν Σου, καὶ μετὰ πόθου Δέσποινα, προστρεχόντων Σου τῇ σκέπῃ.

Ἕτερος. Οὐκ ἐλάτρευσαν.

Οὐκ ἐνάρκησας τοῖς δρόμοις τοῦ κηρύγματος Πάτερ θλιβόμενος, ἀλλὰ προθύμῳ ψυχῇ, τοῖς πᾶσιν ἐκήρυξας, λόγον τῆς πίστεως, καὶ διήγειρας, πρὸς ἐργασίαν Ἅγιε, ἐναρέτου πολιτείας.

Σταυρὸν σύμβολον τῆς θείας ἀγαθότητος πηγνύεις Ἅγιε, ἀνακηρύττων σοφῶς, τὰ θεία διδάγματα, ὡς ἐνθεώτατος, τῷ δὲ λόγῳ σου, πλήθη πιστῶν παρείποντο, ὥσπερ ἄρνες τῷ ποιμένι.

Γνῶσιν ἔνθεον καὶ φόβον τὸν σωτήριον καὶ βίον κρείττονα, καὶ πολιτείαν σεμνήν, Κοσμᾶ ἐγεώργησας, ἀρότρῳ χάριτος, τοῖς τὸ πρότερον, ἐν ἀγνωσίᾳ Ἅγιε, καὶ ἀπάτῃ προκειμένοις.

Θεοτοκίον.

Ἔχεις Δέσποινα πολλὴν πρὸς Ὃν ἐκύησας Θεὸν καὶ Κύριον, οἷάπερ Μήτηρ Αὐτοῦ, παῤῥησίαν Ἄχραντε, διὸ μεσίτευσον, οἰκτειρῆσαί με, τὸν ἐν ἀμέτροις πάθεσι, κυλινδούμενον ἀφρόνως.

ᾨδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ.

Ἱερέων πληθὺς καὶ τῶν Μαρτύρων, εὐφημεῖ σε Κοσμᾶ ἱερομύστα, καὶ μοναστῶν ὁ δῆμός σε

γεραίρουσι, ὡς τὸν Ἀποστόλον, ὁμότροπον ἐν πᾶσι, πανσόφως γεγονότα.

Ἀναργύρως τὸν σὸν ἐνσπείρας λόγον, ταῖς διψώσαις καρδίαις τῶν ἀνθρώπων, ἑπταπλασίους πρὸς Χριστοῦ ἀπείληφας, πόνων τοὺς στεφάνους, ᾧ μὴ διαλείπῃς, ὑπὲρ ἡμῶν πρεσβεύων.

Διδαγμάτων ἐνθέων σου πλησθεῖσα, Ἀλβανία ἄθλους τοὺς σοὺς γεραίρει, καὶ τῷ πανσέπτῳ συνελθόντες σου ναῷ, τὴν Τριάδα Πάτερ, τὴν δοξάσασάν σε, δοξάζουσιν ἐμφρόνως.

Θεοτοκίον.

Οἱ δι᾽ Εὔας Ἐδὲμ ἐκδιωχθέντες, διὰ Σοῦ δὲ πάλιν ἀντεισαχθέντες, δοξάζομέν Σε ὡς Θεὸν γεννήσασαν, ἧς ταῖς μεσιτείαις, λύσιν τῶν πταισμάτων, εὕροιμεν Θεοτόκε.

Ἕτερος. Παῖδας εὐαγεῖς.

Ῥείθροις τῶν ἐνθέων διδαχῶν σου, Κοσμᾶ Ισαπόστολε κατήρδευσας, Ἐκκλησίας Ἅγιε, πάντα τὰ πληρώματα, καὶ πᾶσαν τάξιν ἴθυνας, πρὸς βίον ἔνθεον, μεγίστη, ὡς πηγὴ γὰρ προῆλθες, κατὰ τὸν Προφήτην, ἐξ Ἄθω θείᾳ νεύσει.

Ἄρτῳ τῶν ἁγίων διδαχῶν σου, καιρῷ νοητοῦ λιμοῦ διέθρεψας, πλήθη πιστῶν Ἅγιε, πεινώντων τὰ κρείττονα, καὶ σεμνοτάτοις ἤθεσι Κοσμᾶ ἐκόσμησας, τοὺς πρὶν ἐν ἀκοσμίᾳ βιοῦντας, βίου ἐσφαλμένου, ψυχῶν ὡς οἰκονόμος.

Στόμα τοῦ Θεοῦ ἐδείχθης Πάτερ, καὶ στόματος ἐχθροῦ λόγῳ τῆς χάριτος, οὓς πρὶν βρῶμα ἔσχηκεν, ἥρπασας καὶ ἴθυνας, πρὸς ἐντολῶν ἐκπλήρωσιν τοῦ Παντοκράτορος, ὡς μέγας εὐσεβείας ἐκφάντωρ, καὶ τῆς μετανοίας, μυσταγωγὸς θεόφρον.

Θεοτοκίον.

Ἵνα μεγαλύνω Σου τὴν δόξαν, Παρθένε εὐλογημένη ὑπερένδοξε, ἀδοξίας ῥῦσαί με, καὶ δεινῆς φαυλότητος, παθῶν ἀλλοτριούντων με τοῦ ἀγαθοῦ Σου Υἱοῦ, καὶ λάμπρυνον φωτὶ μετανοίας, τὴν ἐσκοτισμένην, ψυχήν μου τῇ ἀπάτῃ.

ᾨδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Τῇ αἴγλῃ τῆς Τριάδος σοῦ τὴν ψυχήν, ἐλλαμφθεὶς πρὸς τοὺς πόνους ἐξέδραμες, μὴ τὸ σαυτοῦ, μόνον ἀλλὰ πάντων ἐπισκοπῶν, καθὼς φησι τὸ λόγιον, ᾧ καὶ παρεπόμενον ἀσφαλῶς, ἐξέδωκας βασάνοις, ὑπὲρ πάντων τὸ σῶμα, τὸν σὸν Δεσπότην ἐκμιμούμενος.

Τὸν φόβον τοῦ Κυρίου ἔνδον λαβών, σῇ καρδίᾳ σοφίαν ἐπλούτησας, παρὰ Θεοῦ, ᾗ καὶ τὰς καρδίας τῶν εὐσεβῶν, πρὸς γνῶσιν θείαν ἤγαγες, σέβειν καὶ δοξάζειν ἕνα Θεόν, Τριάδα ἐν Μονάδι, τὸν Ἄναρχον Πατέρα, σὺν τῷ Υἱῷ καὶ θείῳ Πνεύματι.

Μνημεῖον διδαχῶν σου τῶν εὐσεβῶν, πανταχοῦ καταλείπων πανόλβιε, θείου Σταυροῦ, ἐν ᾧ τὰς παλάμας ὁ Δίκαιος, ἐξέτεινε δι᾽ ἔλεος, τύπον ἐναργῆ τὰ τεράστια, ἐτέλεις ἐν τῷ κόσμῳ, ἀφθόνους τὰς ἰάσεις, παρέχων τούτῳ τοῖς προστρέχουσι.

Θεοτοκίον.

Βάτον μὲν τὸ πάλαι ὁ Μωϋσῆς, προκατεῖδέ Σε μόνη Θεόνυμφε, τὴν ἐν πυρὶ ὅλως ἀκατάφλεκτον μείνασαν· ἡμεῖς δὲ Σὲ Πανάμωμε, κυρίως Θεοτόκον πανευλαβῶς, δοξάζομεν ἰδόντες, ὡς μεσίτριαν οὖσαν, πρὸς τὸν Υἱόν Σου καὶ Θεὸν ἡμῶν.

Ἕτερος. Ἅπας γηγενής.

Μάρτυς εὐκλεής, καὶ θεῖος Ἀπόστολος, καὶ μύστης ἔνθεος, ὤφθης θείῳ ἔρωτι, τοῦ Βασιλέως τῆς δόξης Ἅγιε, μαρτυρικῶς σφραγίσας σου τὸ θεῖον κήρυγμα, καὶ τῆς ἄνω, δόξης καὶ λαμπρότητος, ἠξιώθης Κοσμᾶ Ἰσαπόστολε.

Ὅρμον γαληνόν, ζωῆς τῆς ἀμείνονος, Πάτερ κατέλαβες, δι᾽ ἀγχόνης Ἅγιε, λαβὼν τὸ τέλος σοι τὸ ποθούμενον, καὶ τὸ σεπτόν σου λείψανον Μᾶρκος ὁ ἔνθεος, ῥείθρων ἀνεκόμισεν, ἀναβλύζον ἰάσεων νάματα.

Ὕψωσον Θεῷ, Κοσμᾶ Ἰσαπόστολε, χεῖρας ἱκέτιδας, πάσης πλάνης ῥύσασθαι, τὴν Ἐκκλησίαν νῦν τὴν Ὀρθόδοξον, εἰρήνην τῇ Ἑλλάδι δὲ πάσῃ δωρήσασθαι, καὶ πταισμάτων, κἀμοὶ Πάτερ ἄφεσιν, τῷ τοὺς ὕμνους σοι τούτους ὑφάναντι.

Θεοτοκίον.

Ὕψωσον ἡμῶν, καρδίας τὴν ἔφεσιν, πρὸς θεῖον ἔρωτα, πάσης ἀπαλλάττουσα, περιρεούσης ἡμᾶς φαυλότητος, εὐλογημένη Πάναγνε, ὡς ἂν τῆς

κρείττονος, τοῦ Υἱοῦ Σου, μυστικῆς ἐλλάμψεως, οἱ ὑμνοῦντές Σε Κόρη μετάσχωμεν.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε. Σαπφειρίου.

Σταυρὸν τὸν τοῦ Κυρίου σου, ἐπ᾽ ὤμων ἀνεβάστασας, δι᾽ οὗ ἐτέλεις ἐν κόσμῳ, τοῖς προσιοῦσί σοι μάκαρ, ἄφθονα τὰ ἰάματα, ὡς Ἱερεὺς πανάριστος, τοῦ σοῦ Δεσπότου πάνσοφε, διὸ καὶ προσενήνοχας, σαυτὸν δεκτὸν ὥσπερ θῦμα, ἱερουργῶν τῷ Δεσπότῃ.

Ὅμοιον. Γερασίμου.

Τὸν μέγαν Ἰσαπόστολον, Κοσμᾶν τὸν ἱερώτατον, τῆς Ἐκκλησίας τὴν βάσιν, καὶ ἀληθείας τὸ στόμα, τὸν κήρυκα τῆς πίστεως, Μαρτύρων τὸν ὁμότροπον, πιστῶς ἀνευφημήσωμεν, ἵνα ταῖς τούτου πρεσβείαις, ῥυώμεθα πάσης βλάβης.

Θεοτοκίον.

Μαρία κυριώνυμε, Σῇ μεσιτείᾳ πάντοτε, μὴ διαλείπῃς χρωμένη, πρὸς Ὃν ἔτεκες Κόρη, ὑπὲρ Σῶν δούλων Πάναγνε, τῶν ὑμνητῶν τοῦ τόκου Σου, καὶ γὰρ ἰσχύεις Δέσποινα, ὅσα καὶ βούλει ποιῆσαι, ὡς Μήτηρ τοῦ Βασιλέως.

Εἰς τοὺς Αἴνους. Ἦχος δ΄. Τῶν οὐρανίων ταγμάτων.

Τῶν Ἀποστόλων τὸν ζῆλον ἐκμιμησάμενος, τρανῶς ἀνακηρύττεις, εὐσεβείας τὸν λόγον, Κοσμᾶ πνευματοφόρε καὶ ὁδηγεῖς, πρὸς τὸ φῶς τὸ

ἀνέσπερον, τῶν ἐντολῶν τοῦ Σωτῆρος πλείστους λαούς, ὡς διδάσκαλος τῆς πίστεως.

Τοῖς θεοφθόγγοις σου λόγοις πίστιν ἐτράνωσας, τὸ ζοφερὸν τῆς πλάνης, διαλύσας παμμάκαρ, φωτὶ τὸ τῆς Τριάδος ᾧ παρεστώς, παῤῥησίαν εὑράμενος, καθικετεύων μὴ παύσῃ ὑπὲρ ἡμῶν, τῶν τελούντων σου τὴν μνήμην ἀεί.

Ἐξ Ἄθω Πάτερ ἐκλάμψας ὡς μέγας ἥλιος, ταῖς σαῖς διδασκαλίαις, καὶ θαυμάτων ἀκτῖσι, λαοὺς τοὺς ἐν ἁγνοίᾳ φωταγωγεῖς, καὶ στηρίζεις μὴ σφάλλεσθαι, καὶ ἀποκλίνειν τῆς πίστεως τοῦ Χριστοῦ, τῆς δουλείας ἐν ταῖς θλίψεσι.

Χαίρει ἐν σοὶ Αἰτωλία ἡ σὲ βλαστήσασα, καὶ Ἄθως χαρμοσύνως, τὴν σὴν χάριν κηρύττει, καὶ πᾶσα Ἐκκλησία ἡ τοῦ Χριστοῦ, μακαρίζει σε Ἅγιε, στηριζομένη ταῖς θείαις σου διδαχαῖς, Κοσμᾶ θεῖε Ἰσαπόστολε.

Δόξα. Ἦχος β΄.

Τοῦ σκεύους τῆς ἐκλογῆς, τῆς κορυφῆς τῶν Ἀποστόλων, Παύλου τὸν ζηλωτήν, εὐφημήσωμεν Κοσμᾶν τὸν Ἰσαπόστολον. Οὐ γὰρ ἔδωκεν ὕπνον αὐτοῦ τοῖς ὀφθαλμοῖς, οὐδὲ τῶν πόνων ἀνάπαυσιν, ἕως οὗ τὸν λόγον τοῦ Εὐαγγελίου τοῖς πιστοῖς διετράνωσε. Καὶ τὰς καρδίας τῶν πιστῶν ἐκ βυθοῦ τῆς πλάνης πρὸς ἐπίγνωσιν θείαν μετήγαγε, τῇ τῶν λόγων πλημμύρᾳ, τῶν ἀνθρώπων ποτίζων τὰς διανοίας· καὶ τῷ φωτὶ τῆς Τριάδος τὴν σκοτόμαιναν διαλυσάμενος, τὸ τῆς θεότητος φῶς τὸ γλυκερὸν ἀντεισήγαγεν, ᾧ καὶ ἡμεῖς

φωτισθέντες τὰς ψυχάς, τῶν παγίδων τοῦ ἐχθροῦ ῥυσθείημεν.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μήτηρ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοί καὶ ἐκ τῶν Κανόνων τοῦ Ἁγίου, ἡ γ΄ ᾠδὴ τοῦ α΄ καὶ ἡ στ΄ τοῦ β΄.

Ἀπόστολον ζήτει τῇ Κυριακῇ μετὰ τὰ Φῶτα.

Εὐαγγέλιον. Τῷ καιρῷ ἐκείνῳ, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα Μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν...

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιόν ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον. Γερασίμου.

Χαίροις Ἀποστόλων ὁ μιμητής, Κοσμᾶ θεοφόρε, εὐσεβείας ὑφηγητά, τοῦ Εὐαγγελίου, ὁ θεηγόρος κήρυξ, καὶ τῶν πιστῶν ἁπάντων θεῖον ἀγλάϊσμα.